βλίων ἀποδεικνύειν μετά γε τὰ ὑπὲρ εἰρήνης εἰρηνικὰ καὶ πραέα προοίμια· πρῶτα μὲν ὡς οὔτ' ἐκκλησία Χριστοῦ ἱσταμένη καὶ σωζομένη φαίνεται παρὰ τοῖς σχιζομένοις ἀφ' ἡμῶν καὶ ἀφισταμένοις, οὔθ' ἡ κατ' αὐτὴν τελεία ἱερωσύνη ἣν ἐξ ἀνάγκης καὶ ὁ λόγος ὁ ἀληθὴς ἀπαιτεῖ· καὶ ὡς οἱ μήτ' ἐκκλησία ὄντες Χριστοῦ, μήθ' ἱερωσύνην κεκτημένοι τοιαύτην παντάπασιν ἀλλότριοι τῆς καθολικῆς ἐκκλησίας Χριστοῦ καὶ τῶν παλαμναιοτάτων ἀρῶν τῷ ὄντι ἐπάξιοι. ἔπειτα δὲ καὶ ὡς οὐδεμίαν ἐξουσίαν καὶ ἄδειαν ἔχουσιν οἱ τοιοῦτοι ἀπὸ τῆς κοινωνικῆς αὐθεντίας τολμᾶν πατριάρχας καὶ συνόδους ἀρχιερέων ἀνακρίνειν καὶ κρίνειν καὶ ἀποδοκιμάζειν . . . ἐν σιωπῇ τελευτᾷ.)

ff. 2v.-99r. Ἰωάννου τοῦ ἁγιωτάτου μητροπολίτου Ἐφέσου λόγος συντεθεὶς ἐκ διαφόρων κανόνων ἀποστολικῶν τε καὶ συνοδικῶν καὶ ἑτέρων χρήσεων γραφικῶν ἀποδεικνὺς ὅτι ὀρθοδοξούσης τῆς ἐκκλησίας ἀλόγως ταυτης διίστανται οἱ νῦν ταύτης ἀποσχιζόμενοι, καὶ ὡς εἰ μὴ ταύτῃ ἑνωθεῖεν, μεγάλην ἕξουσι τὴν καταδίκην ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐφ' οἷς αὐτοί τε ἐβούλοντο εἰρηνεύειν οὕτως ἐχούσης τῆς ἐκκλησίας χάριτι θεοῦ ὀρθοδόξως καὶ ὑπὲρ ὧν αἴτιοι πολλοῖς σκανδάλου καὶ ἀπωλείας γίνονται. (Οὐδὲν ἀγάπης ἐν βίῳ ἀνώτερον καὶ ἡδύτερον . . . τῷ παρακλήτῳ καὶ ἁγίῳ σου πνεύματι.).

Cf. codd. Ottobon. 225 saec. XV ff. 1-54; Ottobon. 213 saec. XV ff. 185-220; Ottobon. 123 saec. XVII ff. 167v.-r.; Vatic. 722; Laurent. LVII 8 et Vindob. theol. gr. 58 (Nessel = 283 Lamb. - Koll., V, 473) indicantur apud Fabr. - Harl., XI, 655.

De hoc Joanne, cognomento Chila, cf. Krumbacher, Gesch., 99; in PG, CXXXV.

*2)* ff. 99v.-100r. Αἱ ἅγιαι ἑπτὰ οἰκουμενικαὶ σύνοδοι.

α'. Πρώτη σύνοδος ἐν Νικαίᾳ ἐπὶ τοῦ ἐν ἁγίοις πατριάρχου Μητροφάνους ἀδελφοῦ Πρόβου υἱοῦ Δομετίου ἡ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς συναθροισθεῖσα τιη' πατέρων θεοφόρων κτίσμα καὶ ποίημα τὸν υἱὸν καὶ λόγον τοῦ θεοῦ λέγοντος καὶ ἐλάττονα τοῦ πατρὸς καὶ ὅτε ἦν ποτε ὁ υἱὸς Κωνσταντίνου τοῦ μεγάλου, ὃς ἐβασίλευσεν ἔτη λα', τῷ ιβ' ἔτει τῆς βασιλείας αὐτοῦ.

ἀπὸ δὲ τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἕως τῆς συνόδου τῆς α' ἔτη τιη'.

β'. Δευτέρα σύνοδος τῶν ρν' συναθροισθεῖσα ἐν Κωνσταντινουπόλει ἐπὶ πατριάρχου Νεκταρίου κατὰ Μακεδονίου τοῦ ἀθέου τὸ ἅγιον πνεῦμα τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ οὐσίας χωρίζοντος· ἐπὶ βασιλείας Θεοδοσίου τοῦ μεγάλου, ὃς ἐβασίλευσεν ἔτη ις'.

ἀπὸ δὲ τῆς α' συνόδου ἕως τῆς β' ἔτη ξ'.

γ' Τρίτη σύνοδος ἐν Ἐφέσῳ τῶν σ' ἁγίων πατέρων ἐπὶ πατριάρχου Μαξιμινοῦ συναθροισθεῖσα κατὰ Νεστορίου τοῦ απονενοημένου δύο υἱοὺς λέγοντος καὶ ψιλὸν ἄνθρωπον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ληρῳδοῦντος· ἐπὶ βασιλέως Θεοδοσίου τοῦ μικροῦ υἱοῦ Ἀρκαδίου.

ἀπὸ δὲ τῆς β' συνόδου ἕως τῆς γ' ἔτη κ'.

δ'. Τετάρτη σύνοδος τῶν χλ' ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι ἐπ πατριάρχου Ἀνατολίου κατὰ Εὐτυχοῦς τοῦ ληρογέροντος καὶ Σεβήρου ἐξ